# Συναξάριον.

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, Ἀνδρέου τοῦ Πρωτοκλήτου.

## Στίχοι.

Ἀντίστροφον σταύρωσιν Ἀνδρέας φέρει,
Φανεὶς ἀληθῶς οὐ σκιώδης ἀντίπους.

Σταυρὸν κακκεφαλῆς τριακοστῇ Ἀνδρέας ἔτλη.

Ὃς ὑπῆρχεν ἐκ πόλεως Βηθσαϊδά, υἱὸς μὲν Ἰωνᾶ τινος Ἑβραίου, ἀδελφὸς δὲ Πέτρου τοῦ Ἀποστόλου, καὶ Κορυφαίου τῶν μαθητῶν τοῦ Χριστοῦ. Οὗτος πρότερον τῷ Προδρόμῳ καὶ Βαπτιστῇ Ἰωάννῃ μαθητεύεται· ἔπειτα τό, *Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ*, παρὰ τοῦ Διδασκάλου ἀκούσας, δακτυλοδεικτοῦντος τὸν Ἰησοῦν, καταλιπὼν αὐτόν, ἠκολούθησε τῷ Χριστῷ. Καὶ τῷ Πέτρῳ τό, *Εὑρήκαμεν Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ*, εἰπών, ἐπεσπάσατο πρὸς τὸν τοῦ Χριστοῦ ἔρωτα. Καὶ ἕτερα πολλά ἐστιν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος τοίνυν οὕτω τῷ Χριστῷ ἠκολούθησε.

Μετὰ δὲ τὴν Ἀνάληψιν αὐτοῦ, ἄλλῳ μὲν Ἀποστόλῳ ἄλλη τις ἐκληρώθη χώρα· τῷ Πρωτοκλήτῳ δὲ ἥ τε Βιθυνῶν, καὶ ὁ Εὔξεινος Πόντος, τῆς Προποντίδος τὰ μέρη, σὺν Χαλκηδόνι καὶ Βυζαντίῳ καὶ Θράκῃ καὶ Μακεδονίᾳ, καὶ τὰ ἕως Ἴστρου φθάνοντα, Θεσσαλία τε καὶ Ἑλλάς, καὶ τὰ μέρη Ἀχαΐας. Ἀλλὰ καὶ Ἀμινσός, καὶ Τραπεζοῦς, καὶ Ἡράκλεια, καὶ Ἄμαστρις. Ταύτας δέ, οὐχ ὥσπερ ὁ λόγος διέρχεται, οὕτω κἀκεῖνος διῆλθεν, ἀλλ᾽ ἐν ἑκάστῃ πόλει πολλὰ τὰ ἀντιπίπτοντα ὑποστάς, πολλαῖς

τε πραγμάτων δυσχερείαις ὡμιληκώς, εἰ καὶ ῥοπῇ Χριστοῦ καὶ βοηθείᾳ πάντων ἐκράτει· ἐξ ὧν μιᾶς πόλεως ἐπιμνησθείς, τὰς λοιπὰς τοῖς εἰδόσιν ἐάσω.

Οὗτος τῇ Σινωπέων ἐπιδημήσας, καὶ τὸν λόγον καταγγείλας, πολλαῖς θλίψεσι καθυποβάλλεται· κατὰ γῆς γὰρ αὐτὸν ἐῤῥίπτουν, καὶ χειρῶν καὶ ποδῶν λαβόμενοι εἷλκον, καὶ τοῖς ὀδοῦσιν ἐσπάραττον, καὶ ξύλοις ἔπαιον, καὶ λίθοις ἔβαλλον, καὶ μακρὰν τῆς πόλεως ἀπεῤῥίπτουν, ὅτε καὶ τὸν δάκτυλον ὀδοῦσιν ἔκοψαν. Ἀλλ' αὐτὸς αὖθις ὑπὸ τοῦ Σωτῆρος καὶ Διδασκάλου ἄρτιος καὶ ὑγιὴς ἀπὸ τῶν πληγῶν ἐφάνη. Ἐκεῖθέν τε ἀναστάς, ἤμειψε πλείστας πόλεις καὶ χώρας, τήν τε Νεοκαισάρειαν, τὰ Σαμόσατα, Ἀλανοὺς (ἢ Ἀγαυούς), Ἀβασγούς, Ζήκχους, Βοσπορίνους, καὶ Χερσωνίτας.

Εἶτα διαπλεύσας εἰς τὸ Βυζάντιον, καὶ Στάχυν Ἐπίσκοπον χειροτονήσας, καὶ τὰς λοιπὰς χώρας διελθών, πρὸς τὴν περιφανῆ Πελοπόννησον ἔρχεται. Καὶ ξενισθεὶς παρὰ Σωσίῳ, χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτόν. Καὶ παραυτίκα, πᾶσα ἡ πόλις ἐκείνη τῶν Πατρῶν προσῆλθε τῷ Χριστῷ· ὅτε καὶ ἡ Ἀνθυπάτου γυνὴ Μαξιμίλλα, τῶν χαλεπῶν λυθεῖσα τῆς νόσου δεσμῶν, καὶ ταχείας τυχοῦσα θεραπείας, ἐπίστευσε. Καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ Ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος, καὶ ἕτεροι πολλοί, νόσους ἔχοντες ποικίλας, ὑγιώθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ Ἀποστόλου.

Διὰ ταῦτα, μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης, καὶ σταυρῷ προσηλώσας τὸν Ἀπόστολον, τῆς παρούσης ζωῆς ἐξιστᾷ. Αὐτὸς δέ, ἀπό τινος μετεώρου κρημνοῦ εἰς γῆν ἑαυτὸν καταβεβληκώς, συνετρίβη. Τοῦ δὲ Ἀποστόλου τὸ λείψανον, μετὰ πολὺν χρόνον, μετετέθη ἐν Κωνσταντινουπόλει, ἐπὶ τῆς βασιλείας Κωνσταντίου, τῇ τούτου κελεύσει, παρὰ Ἀρτεμίου τοῦ Μάρτυρος· καὶ κατετέθη μετὰ Λουκᾶ καὶ Τιμοθέου ἐν τῷ τῶν Ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει.